**ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν /**
**anapaesticum (-us) tetrametrum (-ter) catalecticum (-us) in syllabam**

Aristoph. *Ach*. 627
ἀλλ᾽ ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν.

Aristoph. *av*. 682 sqq.
ἀλλ᾽, ὦ καλλιβόαν κρέκουσ᾽
αὐλὸν φθέγμασιν ἠρινοῖς,
ἄρχου τῶν ἀναπαίστων.

Aristoph. *eq*. 503 sq.
ὑμεῖς δ᾽ ἡμῖν προσέχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις.

Aristoph. *pax* 734 sq.
χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχος, εἴ τις κωμῳδοποιητὴς
αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις.

Aeschin. *Timarch*. 157 Παρμένοντος τοῦ κωμικοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ᾽ εἰς σὲ πάντες.

Aristot. *poet*. 12 (p. 1452b. 22 sqq.) χορικοῦ δὲ πάροδος μὲν ἡ πρώτη λέξις ὅλη χοροῦ, στάσιμον δὲ μέλος χοροῦ τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου, κομμὸς δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς.

Dion. Hal. *de comp. verb.* 25. 198 sq. (p. 126. 16 sqq. Vsener-Radermacher) αὐτίκα ὁ κατὰ Ἀριστοκράτους λόγος οὗ καὶ μικρῷ πρότερον ἐμνήσθην (p. 123. 6 sqq. Vsener-Radermacher) ἄρχεται μὲν ἀπὸ κωμικοῦ στίχου τετραμέτρου ἐξ ἀναπαίστων ῥυθμῶν συγκειμένου, λείπεται δὲ ποδὶ τοῦ τελείου, παρ᾽ ὃ καὶ λέληθεν· (Dem. 23. 1) ‘μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με᾽· τοῦτο γὰρ εἰ προσλάβοι τὸ μέτρον πόδα ἤτοι κατ᾽ ἀρχὰς ἢ διὰ μέσου ἢ ἐπὶ τελευτῆς, τέλειον ἔσται τετράμετρον ἀναπαιστικόν, ὃ καλοῦσίν τινες Ἀριστοφάνειον·

μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με παρεῖναι,

ἴσον δὲ τῷ· (Aristoph. *nub.* 961)

λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο.

Dion. Hal. *de comp. verb.* 25. 202 (p. 128. 4 sqq. Vsener-Radermacher) τοῦ κωμικοῦ τετραμέτρου, λεγομένου δὲ ἀριστοφανείου τουδί· (Aristoph. *nub.* 962)

ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.

Dion. Hal. *de comp. verb. epit.* 25 (p. 191. 4 sqq. Vsener-Radermacher) αὐτίκα ἐπὶ τοῦ προτεθέντος παραδείγματος ἄρχεται μὲν ἀπὸ ἀναπαιστικοῦ στίχου τετραμέτρου· λείπεται δὲ ποδὶ τοῦ τελείου, παρ᾽ ὃ καὶ λέληθε· (Dem. 23. 1) ‘μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με᾽· τοῦτο γὰρ εἰ προσλάβοι πόδα, τέλειον ἀναπαιστικὸν ἔσται, ὃ καλοῦσι τινὲς ἀριστοφάνειον· ‘μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με παρεῖναι᾽.

Herodian. fr. 158 (GG III 2, p. 227. 27 sqq. Lentz) ~ Steph. Byz. 612. 15 sqq. Meineke Τελμησσός: ὁ πολίτης Τελμησσεύς· καὶ δρᾶμα Ἀριστοφάνους Τελμησσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμησσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ· (fr. 548 [PCG III 2, p. 282]. 1 Kassel-Austin)

πῶς ἄν τις ἂν οὖν, ἢ τί ποιήσας, ὦ Τελεμησσεῖς;

καὶ πάλιν· (fr. 548 [PCG III 2, p. 282]. 2 Kassel-Austin)

φέρε δὴ τοίνυν, ταῦθ᾽ ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ᾽, ὦ Τελεμησσεῖς.

ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.

Hephaest. 24. 20 sqq. ἐπισημότατον δὲ ἐν αὐτῷ (*scil.* τῷ ἀναπαιστικῷ) ἐστι τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβήν, τὸ καλούμενον ἀριστοφάνειον· (Aristoph. *nub*. 962)

ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο·

κέκληται δὲ ἀριστοφάνειον οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί· (fr. 235 [PCG IV, p. 241] Kassek-Austin)

χαίρετε δαίμονες οἱ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης,

ἀλλὰ διὰ τὸ τὸν Ἀριστοφάνην πολλῷ αὐτῷ κεχρῆσθαι· καὶ πρὸ Κρατίνου παρ᾽ Ἐπιχάρμῳ, ὅς καὶ ὅλα δύο δράματα τούτῳ τῷ μέτρῳ γέγραφε, τούς τε Χορεύοντας καὶ τὸν Ἐπίνικον. Ἀριστόξενος δὲ ὁ Σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποιητής, οὗ καὶ αὐτὸς Ἐπίχαρμος μνημονεύει ἐν Λόγῳ καὶ Λογίνᾳ· (fr. 77 [PCG I, p. 53] Kassel-Austin)

οἱ τοὺς ἰάμβους καὶ τὸν † ἄριστον τρόπον,
ὃν πρᾶτος εἰσηγήσαθ᾽ Ὡριστόξενος.

καὶ τούτου τοίνυν τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα· (IEG II, p. 45 West)

τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; τοὶ μάντεις·

τὸ μέντοι τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα εἰσὶν οἳ λακωνικὸν καλοῦσι, προφερόμενοι παράδειγμα τό· (carm. pop. 11 [PMG 857] Page)

ἄγετ᾽ ὦ Σπάρτας ἔνοπλοι κοῦροι ποτὶ τὰν Ἄρεως κίνασιν·

ὅτι μέντοι καὶ ἐν τῷ ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει Κρατῖνος· εἰς γὰρ τοὺς Ὀδυσσέας εἰσβάλλων τούτῳ τῷ μέτρῳ ἐχρήσατο· (fr. 143 [PCG IV, p. 193]. 1 Kassel-Austin)

τίνες αὖ πόντον κατέχουσ᾽ αὖραι; νέφος οὐράνιον τόδ᾽ ὁρῶμαι,

ἐποίησε δέ τινα στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον· (fr. 143 [PCG IV, p. 193]. 2 Kassel-Austin)

ὡς ἂν μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ.

Aristid. Qvint. *de mus.* I 28 (p. 51. 19 sqq. Winnington-Ingram) μέσα δὲ καλεῖται μέτρα, ὅτε δύο ποδῶν ἀντιθέτων εἷς μεταξὺ πίπτων, οἰκειότητα πρὸς ἀμφοτέρους ἔχων, δυσδιάκριτον ποιεῖ τὴν βάσιν· οἷον <εἰ> ἐκκειμένου μὲν ἑνὸς δακτύλου, διμέτρου δὲ ἀναπαιστικοῦ κατὰ μέσον πέσοι σπονδεῖος, ἄδηλον πότερα δύο φήσομεν εἶναι μέτρα, τὸ μὲν δακτυλικόν, τὸ δ᾽ ἀναπαιστικόν, ἄμφω δίμετρα, ἢ τὸ σύμπαν τετράμετρον ἀναπαιστικόν· καὶ ἐπ᾽ ἄλλων δὲ μέτρων ταὐτὸν θεωρεῖται.

Steph. Byz. 612. 15 sqq. Meineke Τελμησσός, πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων (XIV 3. 4), Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα. ὁ πολίτης Τελμησσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμησσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμησσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ· (fr. 548 [PCG III 2, p. 282]. 1 Kassel-Austin)

πῶς ἄν τις ἂν οὖν, ἢ τί ποιήσας, ὦ Τελεμησσῆς;

καὶ πάλιν· (fr. 548 [PCG III 2, p. 282]. 2 Kassel-Austin)

φέρε δὴ τοίνυν, ταῦθ᾽ ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ᾽, ὦ Τελεμησσῆς.

ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.

Choerob. 234. 4 sqq. εἶτα δείκνυσιν, ὅτι τὸ τετράμετρον τὸ καλούμενον Ἀριστοφάνειον οὐκ ἦν αὐτοῦ τοῦ Ἀριστοφάνους εὕρημα, ἀλλ᾽ ἑτέρου τινὸς παλαιοτέρου τοῦ Ἀριστοφάνους. Ἀριστόξενος γάρ φησιν πρῶτος αὐτῷ ἐχρήσατο, οὗ μέμνηται Ἐπίχαρμος μεταγενέστερος ὤν. εἶτα ἐχρήσατο τούτῳ τῷ μέτρῳ καὶ αὐτὸς ὁ Ἐπίχαρμος, εἶτα Κρατῖνος, καὶ ὕστερος ὢν Κρατίνου Ἀριστοφάνης. ἐπειδὴ δὲ συνεχῶς αὐτῷ ἐχρήσατο, ἐκλήθη Ἀριστοφάνειον. καὶ φέρει τὴν χρῆσιν τοῦ Ἀριστοξένου, ὅτι ἔστι τετράμετρον καταληκτικὸν εἰς συλλαβήν· (IEG II, p. 45 West)

τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; οἱ μάντεις ...

λακωνικὸν δέ φησι κεκλῆσθαι διὰ τὸ τὸν Ἀλκμᾶνα Λάκωνα ὄντα λυρικὸν χρήσασθαι αὐτῷ ἢ πρῶτον ἢ συνεχέστερον μᾶλλον.

Svda α 1999 (I 1, p. 180. 17 sqq.) Adler ἀνάπαιστα: κυρίως τὰ ἐν ταῖς παραβάσεσι τῶν χορῶν ᾄσματα, ἰδίως δὲ τὰ τῶν ῥυθμῶν. πᾶσαν δὲ παράβασιν ἀναπαίστους καλοῦσιν. αὐτὸν ἐπήνει πρότερον παραβὰς ἐν τοῖς ἀναπαίστοις· φησὶν Ἀριστοφάνης ἐν Εἰρήνῃ (v. 735). γραφαί τε παιγνιώδεις ἐς τοῦτο, καὶ ἀνάπαιστα ᾖδοντο κατὰ Ῥωμαίων. σημαίνει δὲ ἀνάπαιστος καὶ εἶδος μέτρου στίχων.

Tzetz. in Aristoph. nub. arg. a (p. 367. 16 sqq. Holwerda) ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή, ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα· εἶτα τὴν ἀντίμετρον ἤγουν τὴν ἀντίστροφον προσᾴδοντες πάλιν τὰ τετράμετρα ἐπέλεγον, ἦν δὲ ἐπὶ πλεῖστον ις΄. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις.

Tzetz. in Aristoph. *nub*. 314a (p. 457. 8 sqq. Holwerda) περὶ δὲ τῶν στίχων ῥητέων μοι· εἶτα καὶ ὃ τοῦ κειμένου χρῄζει σαφηνείας, διασαφήσομεν. «ἀπὸ τοῦ ‘πρὸς τοῦ Διὸς’ ρκε΄ εἰσὶ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί».

Tzetz. in Aristoph. *nub*. 959a (p. 595. 10 sqq. Holwerda) ἀλλ᾽ ὦ πολλοῖς] ἐντεῦθεν τετράμετρα ἀναπαιστικὰ καταληκτικά, ἃ καλεῖται καὶ ἀριστοφάνεια, ὅτι τούτοις αὐτὸς εὐδοκίμησεν.

Tzetz. in Aristoph. *Plut*. 253a (p. 70. 24 sqq. Koster) ὦ πολλὰ δὴ τῷ δεσπότῃ] χοροῦ μέρος ἢ ὁ Καρίων θεράπων. οὐ μέχρι χωρίου ἦσαν ἰαμβικοὶ στίχοι τρίμετροι· ἐντεῦθε δὲ τετράμετροι, οὓς οἱ διδάξαντες περὶ κωμῳδίας, ὁ ἐξ Ἁλικαρνασσοῦ τε Διονύσιος (cf. *de comp. verb.* 25. 198 q. et 202 [p. 126. 16 sqq. et p. 128. 4 sqq. Vsener-Radermacher]), Εὐκλείδης τε καὶ ὁ Κράτης, ἀναπαιστικούς φασιν, ἐγὼ δὲ ἀντισπαστικοὺς τε καὶ παιωνικούς.

Tzetz. in Aristoph. *Plut*. 505 (p. 122. 2 sqq. Koster) δευτέρως φασὶ καὶ τὸν στίχον τοῦτον κακόμετρον ἢ καὶ ἄμετρον· ἡμεῖς δέ φαμεν τετράμετρον κάλλιστον ἀναπαιστικὸν εἶναι.

Tzetz. in Aristoph. *ran*. 354a (p. 795. 6 sq. Koster) μάκαρ] ἀναπαιστικὰ τετράμετρα καταληκτικά. παράβασις.

Tzetz. in Aristoph. *ran.* 382a (p. 806. 10 Koster) ἀναπαιστικὰ τετράμετρα.

Tzetz. in Aristoph. *ran.* 1004a (p. 994. 1 sq. Koster) ἀναπαιστικὰ τετράμετρα καταληκτικά.

Trich. 384. 3 sqq. πλὴν τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐπισημότατόν ἐστι καὶ ἀριστοφάνειον ὀνομάζεται, οὐχ ὅτι πρῶτος αὐτῷ ἐχρήσατο Ἀριστοφάνης, ἀλλ᾽ ὅτι κατακόρως καὶ συνεχῶς. Ἀριστόξενος γάρ, εἶτα Ἐπίχαρμος, εἶτα Κρατῖνος, εἶτα μετὰ τοῦτον Ἀριστοφάνης εὕρηται τῷ μέτρῳ τούτῳ χρώμενος. ἔστι δὲ τοιοῦτον οἷον τό·

ἐμέθεν μελέων, ἐμέθεν κραδίης ἰθύνουσ᾽ ὁρμὰν ἵνα λῷον.

Platon. *de comoed.* 45 sqq., (p. 34) ἡ δὲ παράβασις ἐπληροῦτο ὑπὸ μελυδρίου καὶ κομματίου καὶ στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπιρρήματος καὶ ἀναπαίστων.

Anon. *de trag.* 8. 69 sqq. (p. 30 Perusino) περὶ δὲ μέτρου τραγικοῦ ἁπλοῦς πάντως ἐστὶν ὁ λόγος· σχεδὸν γὰρ δύο μέτροις οἵ γε δὴ πολλοὶ ἐν τραγῳδίᾳ κέχρηνται, τῷ ἰαμβικῷ καὶ τῷ τροχαικῷ τετραμέτρῳ. τὸ δὲ ἀναπαιστικὸν τετράμετρον παρὰ Φρυνίχῳ (test. 12 [TrGF I, p. 71] Snell) μόνον τῷ παλαιῷ τετύχηκε χρήσεως.

Schol. in Aristoph. *prol.* VII 1 sqq. (p. 17 Koster) ὁ χορὸς ὁ κωμικὸς VEN[2]UGAld [ὁ κωμικὸς χορὸς Tr[1]] εἰσήγενετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογείῳ· καὶ ὅτε μὲν πρῶτον Tr[1] πρὸς τοὺς ὑποκριτὰς διελέγετο, πρὸς τὴν σκηνὴν ἀφεώρα VEN[2]UGAld [ἀφώρα Tr[1]], ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξήει, πρὸς τὸν δῆμον ἀπεστρέφετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον προσᾴδοντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων.

Schol. in Aristoph. *prol.* XIa I 121 sqq. (p. 29 Koster) ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς δῆμον ὁρῶν ἐκ τετραμέτρων ις´ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους ἑκκαίδεκα τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο τοῦτο ἀντίστροφος· ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον. ἡ ὅλη δὲ πάροδος τοῦ χοροῦ καλεῖται παράβασις.

Schol. in Aristoph. *prol.* XIc. 74 sqq. (p. 46 Koster) ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν ἐκ τετραμέτρων δεκαὲξ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος· ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον. ὅλη δὲ ἡ πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις.

Schol. in Aristoph. *prol.* XXIb. 21 sqq. (p. 95 Koster)

ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις,
τὴν ἣν λογεῖον νῦν καλοῦμεν ἠγμένος,
ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις
σκηνὴν πρὸς αὐτὴν ἦν ὁρῶν κωμῳδίας,
αὐτῶν ἀπελθόντων δὲ πρὸς δῆμον βλέπων,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρειν·
ἐκ τετραμέτρων ἕξ τε καὶ δέκα στίχους,
ἀναπαιστικοὺς δὲ τοῖς μέτροις, ἐφθέγγετο,

ἀντίστροφον δ᾽ ἔφασκεν εἶτα δευτέρως
τοιῷδε μέτρῳ καὶ ποσῷ τόσων στίχων.

Schol. in Aristoph. *Ach*. 626a (p. 83. 10 sqq. Wilson) (ad vv. 626-658) vet ἀνὴρ νικᾷ] ἐξιόντων τῶν ὑποκριτῶν ὁ χορὸς λέγει τὴν τελείαν παράβασιν. τῆς δὲ παραβάσεως τὸ μὲν κομμάτιόν ἐστι στίχων δύο ἀναπαίστων τετραμέτρων καταληκτικῶν, αὐτὴ δὲ ἡ παράβασις ἐξ ὁμοίων στίχων τριάκοντα δύο ΕΓ.

Schol. in Aristoph. *Ach*. 626b (p. 83. 14 sqq. Wilson) (ad vv. 626-664) Tr ἀνὴρ νικᾷ τοῖσι λόγοισιν] ἐξελθόντων τῶν ὑποκριτῶν εἰσάγεται ὁ χορὸς συνήθως λέγων τὴν παράβασιν, ἧς προτίθεται κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν δύο. ἡ δὲ παράβασις, ὃ καὶ μακρὸν λέγεται, στίχων ἐστὶν ὁμοίων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν λα′, ὧν τελευταῖος· (v. 658)

οὔτε πανουργῶν οὔτε κατάρδων ἀλλὰ τὰ βέλτιστα διδάσκων Lh.

Schol. in Aristoph. *av*. 451a. 12 (p. 78 Holwerda) Tr ἐν ἐκθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β′ ὅμοιοι τοῖς ἑξῆς.

Schol. in Aristoph. *av*. 638a. 4 (p. 102 Holwerda) Tr ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ γ′. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος Lh.

Schol. in Aristoph. *av*. 685a (p. 108 Holwerda) vet μετάβασις ἀπὸ τῶν ἔσω πρὸς τὸ θέατρον· καὶ ἔστιν ἀνάπαιστος RVΕΓΜ.

Schol. in Aristoph. *av*. 685c. 1 sqq. (p. 108 Holwerda) Tr ἄγε δὴ φύσιν ἄνδρες] ἡ παροῦσα παράβασις, ὃ καὶ μακρὸν καὶ πνῖγος, ὡς εἴρηται, λέγεται, ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν λη′, ὧν τελευταῖος· (v. 722)

ἆρ᾽ οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Ἀπόλλων;

ἐπὶ τῷ τέλει παράγραφος Lh.

Schol. in Aristoph. eq. 503 (p. 125. 14 sqq. Jones-Wilson) vet ὑμεῖς δ᾽ ἡμῖν] ἐντεῦθεν παράβασις γίνεται, καὶ ἔστι τοῦτο τὸ καλούμενον κομμάτιον. μεθ᾽ ὃ οἱ ἀνάπαιστοι, ἔπειτα τὸ μακρόν, μετὰ ταῦτα δὲ ἡ στροφή, ἔπειτα τὸ ἐπίρρημα, ἑξῆς δὲ ἡ ἀντίστροφος, καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα VΕΓΘΜ.

Schol. in Aristoph. *eq*. 507a (p. 126. 2 sq. Jones-Wilson) (ad vv. 507-546) vet στίχοι ἀναπαιστικοὶ καταληκτικοὶ τετράμετροι μα′ VΕ$Γ^3$Μ.

Schol. in Aristoph. *eq*. 507b (p. 126. 4 sqq. Jones-Wilson) (ad vv. 507-550) Tr εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων] ἡ παροῦσα παράβασις, ἣ καὶ μακρὸν καὶ πνῖγος <καὶ> ἀνάπαιστος ὡς εἴρηται λέγεται, ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μ′, ὧν τελευταῖος· (v. 546)

αἴρεσθ᾽ αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ᾽ ἐφ᾽ ἕνδεκα κώπαις.

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἐξόχως ἀριστοφάνειον, ὡς εἴρηται ἐν τῷ Πλούτῳ δράματι Lh.

Schol. in Aristoph. *eq*. 756a (p. 179. 6 sqq. Jones-Wilson) vet εἶτα ἐν ἐκθέσει ἐστὶ τὸ ἔθιμον, ⟦διπλῆ⟧ <δίστιχος> ἀνάπαιστος τετράμετρος καταληκτικός· ὑφ᾽ ὃ διπλῆ καὶ ἑξῆς στίχοι ὁμοίως ξ′ VΕΓΘ.

Schol. in Aristoph. *eq*. 756b (p. 179. 16 sq. Jones-Wilson) Tr ἐν ἐκθέσει δὲ στίχοι β′ ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί.

Schol. in Aristoph. *eq*. 1316a (p. 266. 15 sq. Jones-Wilson) (ad vv. 1316-

1334) vet εὐφημεῖν χρή] στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιε′ VΕΓΘ.

Schol. vet. in Aristoph. *nub. arg.* (p. 1. 6 sqq. Holwerda) ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν καὶ τοὺς ἀναπαίστους διεξῄει καὶ τὰ <...>, πρὸς τὸν δῆμον ἀπεστρέφετο.

Schol. vet. in Aristoph. *nub*. 263a (p. 66. 9 Holwerda) ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιβ΄ EMatr.

Schol. rec. in Aristoph. nub. 263a (p. 45 Koster) Tr[1] ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ καὶ ἀκατάληκτοι ιβ΄, ὧν τελευταῖος· (v. 274)

ὑπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

Schol. rec. in Aristoph. *nub*. 263b. 1 sqq. (p. 45 Koster) Tr[2] εὐφημεῖν χρὴ τὸν πρεσβύτην] ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴσθεσις ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ΄, ὧν τελευταῖος· (v. 274)

ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο ἀριστοφάνειον, ὡς εἴπομεν.

Schol. rec. in Aristoph. *nub*. 274f (p. 47 Koster) Tr[1] τελευταῖος τῶν ἀναπαίστων.

Schol. vet. in Aristoph. *nub*. 275d (p. 69. 10 sqq. Holwerda) <τοῦ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι περιόδους, οὔσας ις′ κώλων· τῶν δὲ ὑποκριτῶν †μέσων ὄντων† ἐκ στίχων ζ′ ἀναπαίστων τετραμέτρων καταληκτικῶν> Ald.

Schol. rec. in Aristoph. *nub*. 291a. 1 sqq. (p. 51 Koster) Tr[2] ὦ μέγα σεμναὶ Νεφέλαι] τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ′. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὡς Ἡφαιστίων φησίν.

Schol. vet. in Aristoph. *nub*. 314 (p. 78. 5 Holwerda) στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ρκε′ E.

Schol. rec. in Aristoph. *nub*. 314 (p. 56 Koster) Tr[1/2] πρὸς τοῦ Διὸς ἀντιβολῶ σε] εἴσθεσις διπλῆς ἀμοιβαίας ⌜καθόλου Tr[2] ⌜στίχων οὖσα Tr[1] [ἐκ στίχων Tr[2]] ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ⌜καὶ ἀκαταλήκτων Tr[1] ρκε′, ὧν τελευταῖος· (v. 438)

διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς μ᾽ ἐπέτριψεν.

καλεῖται δὲ τὸ μέτρον ἀριστοφάνειον, ὡς εἴρηται.

Schol. rec. anon. in Aristoph. *nub*. 314a (p. 263 Koster) ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ρκε′.

Schol. rec. in Aristoph. *nub*. 438b (p. 71 Koster) Tr[1] τελευταῖος τῶν τετραμέτρων ἀναπαίστων.

Schol. rec. in Aristoph. *nub*. 457b. 14 sq. (p. 74 Koster) Tr[2] ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· ἔθος γάρ ἐστι μετὰ τὰς τοιαύτας περιόδους δίστιχον ἐπιτιθέναι.

Schol. vet. in Aristoph. *nub*. 476a (p. 111. 6 sq. Holwerda) ἀλλ᾽ ἐγχείρει: στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ [β′, οὓς] ὁ χορός φησιν· εἰώθα[σι] γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν <δίστιχον> Rs.

Schol. rec. in Aristoph. *nub*. 476 (p. 75 Koster) Tr[1] ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β′.

Schol. Ald. in Aristoph. *nub*. 476 (p. 269. 22 sq. Koster) ἀλλ᾽ ἐγχείρει] ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν.

Schol. vet. in Aristoph. *nub*. 510a (p. 116. 14 sqq. Holwerda) παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ ἀναπαίστῳ χρῆται· πνῖγος, VRs ὃ καὶ μακρόν V.

Schol. rec. in Aristoph. *nub*. 510c. 5 sqq. (p. 79 Koster) Tr[2] τῆς δὲ παραβάσεως μέρη εἰσὶν ἕξ, ὡς καὶ ἐν ταύταις ἐπιγράφεται, κομμάτιον, παράβασις, ὃ καὶ μακρὸν καὶ πνῖγος λέγεται καὶ ἀνάπαιστος, ἐπεὶ πολλάκις ἀναπαίστοις ἐν τούτῳ χρῶνται.

Schol. rec. in Aristoph. *nub*. 518b. 1 sqq. (p. 81 Koster) Tr[1/2] ὦ θεώμενοι] αὕτη Tr[2] ἡ παράβασις, ἣ καὶ μακρὸν καὶ πνῖγος ⌜καὶ ἀνάπαιστος, ὡς εἴρηται Tr[2], λέγεται, στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ⌜καὶ ἀκαταλήκτων Tr[1] με′, ὧν τελευταῖος· (v. 562)

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

Schol. vet. in Aristoph. *nub*. 518e (p. 117. 14 Holwerda) παράβασις, ἣ καὶ ἀνάπαιστος EMRsNp.

Schol. rec. in Aristoph. *nub*. 949a. 17 sqq. (p. 133 Koster) Tr[1] ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς, ὧν ὁ α′ (v. 959) ‘ἀλλ᾽ ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρη[στοῖς] στεφανώσας’· ὁ β′ (v. 960) ‘ῥῆξον φωνὴν [ᾗ]τινι χαίρεις καὶ τὴν σαυτοῦ φύσιν εἰπέ’.

Schol. rec. anon. in Aristoph. *nub*. 949a α. 10 sq. (p. 376 Koster) ἐφεξῆς στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ μθ′, ὧν τελευταῖος (v. 1008) ‘ἦρος ἐν ὥρᾳ χαίρων’.

Schol. rec. in Aristoph. *nub*. 949b. 12 sqq. (p. 134 Koster) Tr[2] ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· ἔθος γάρ ἐστι μετὰ τὴν περίοδον τῆς κορωνίδος ἐν ἐκθέσει τιθέναι στίχους δύο ὁμοίους τοῖς ἑξῆς.

Schol. vet. in Aristoph. *nub*. 959a (p. 183. 17 sqq. Holwerda) ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· εἰώθασι γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχον, ὡς καὶ ἐνταῦθα. συναριθμοῦνται δὲ οἱ β′ στίχοι οὗτοι μετὰ τῶν ἑτέρων Rs.

Schol. rec. in Aristoph. *nub*. 959a (p. 135 Koster) Tr[1] ἀνάπαιστοι τετράμετροι β′.

Schol. rec. anon. in Aristoph. *nub*. 959a (p. 377 Koster) ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ μθ′, ὧν τελευταῖος (v. 1008) ‘ἦρος ἐν ὥρᾳ χαίρων’.

Schol. vet. in Aristoph. *nub*. 961a α (p. 184. 1 sqq. Holwerda) λέξω τοίνυν τὴν ἀρχαίαν E] στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ μθ′. τοῦτο δὲ τὸ μέτρον ἀριστοφάνειον καλεῖται, ἐπεὶ ἐν τούτῳ αὐτὸς εὐδοκίμησεν EN.

Schol. rec. in Aristoph. *nub*. 961a. 1 sqq. (p. 135 Koster) Tr[1] εἴσθεσις διπλῆς ὑφ᾽ ἓν στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων μζ′, ὧν τελευταῖος· (v. 1008)

ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἀριστοφάνειον, ἐπειδὴ εὐδοκίμησε λέγων· (v. 962)

ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν.

ταῦτα γὰρ ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα.

Schol. vet. in Aristoph. *nub*. 961a β (p. 184. 1 sqq. Holwerda) ἐντεῦθεν τετράμετρα ἀναπαιστικὰ καταληκτικά, ἃ καλεῖται καὶ ἀριστοφάνεια, ὅτι τούτοις αὐτὸς εὐδοκίμησεν Rs.

Schol. vet. in Aristoph. *nub*. 961b (p. 184. 6 Holwerda) τοὺς παρόντας στίχους λέγουσιν εἶναι ἀναπαίστους Rs.

Schol. rec. in Aristoph. *nub*. 961b. 1 sqq. (p. 135 Koster) Tr[2] λέξω τοίνυν τὴν ἀρχαίαν: εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ᾽ ἓν διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν εἰς συλλαβὴν μζʹ, ὧν τελευταῖος· (v. 1008)

ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

καλεῖται δὲ τοῦτο τὸ μέτρον ἐξόχως, ὡς εἴρηται, ἀριστοφάνειον· ὡς Ἡφαιστίων (p. 24. 20 sqq.) φησί, διὰ τὸ πολλῷ τοῦτον τούτῳ τῷ μέτρῳ χρήσασθαι, καὶ διὰ τὸ ἐν τοῖς παροῦσιν εὐδοκιμῆσαι ἀναπαίστοις λέγοντα· (v. 962)

ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν.

Schol. rec. in Aristoph. *nub*. 1008a (p. 144 Koster) Tr[1] τελευταῖος τῶν τετραμέτρων ἀναπαίστων.

Schol. vet. in Aristoph. *nub*. 1352 (p. 237. 10 sq. Holwerda) διὸ καὶ ἐκλέγονται ἢ τετράμετρα ἢ ἀνάπαιστοι λέγειν· ὁ γὰρ ῥυθμὸς ῥᾳδίως προσπίπτει τούτοις RVEΘNRs.

Schol. rec. anon. in Aristoph. *nub*. 1444a. 7 sq. (p. 457 Koster) τελευταῖον δὲ τούτων πάντων στίχος εἷς ἀναπαιστικὸς τετράμετρος καταληκτικός.

Schol. rec. in Aristoph. *nub*. 1452a. 7 (p. 194 Koster) Tr[1] καὶ τελευταῖον τοῦ δράματος στίχος τετράμετρος ἀναπαιστικὸς καταληκτικός.

Schol. vet. in Aristoph. *nub*. 1452b (p. 246. 6 sqq. Holwerda) ταυτὶ δι᾽ ὑμᾶς Rs] ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μαʹ, ὧν τελευταῖος· (v. 1492)

ἐμοὶ ποιήσω, κεἰ σφόδρ᾽ εἴσ᾽ ἀλαζόνες.

εἶτα ἀναφώνημα, τὸ ʻἰοὺ ἰού᾽· καὶ πάλιν ἴαμβοι ιʹ ἕξ, καὶ τὸ τελευταῖον τοῦ δράματος, ἀναπαιστικὸν τετράμετρον καταληκτικόν ERs.

Schol. rec. in Aristoph. *nub*. 1452b. 4 sqq. (p. 194 Koster) Tr[2] ἑξῆς δὲ πάλιν ἐν ἐκθέσει στίχοι ὅμοιοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιςʹ καὶ τελευταῖον παντὸς τοῦ δράματος στίχος ἀναπαιστικὸς τετράμετρος καταληκτικός.

Schol. rec. in Aristoph. *nub*. 1510a (p. 197 Koster) Tr[1/2] ἀνάπαιστος Tr[1] [ἀναπαιστικὸς Tr[2]] τετράμετρος καταληκτικός.

Schol. rec. anon. in Aristoph. *nub*. 1510a. 1 sq. (p. 464 Koster) ἀναπαιστικὸς ... καταληκτικός Reg (mrg.) (= 1510a Tr[2]), ἀνάπαιστος τετράμετρος, ἀναπαιστικός Vict.

Schol. vet. in Aristoph. *nub*. 1510b (p. 250 Holwerda) ὁ δὲ στίχος ἀναπαιστικὸς τετράμετρος καταληκτικός Rs.

Schol. in Aristoph. *pac*. 729a (p. 112 Holwerda) vet ἀλλ᾽ ἴθι χαίρων Γ] ὁ χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μὲν εʹ στίχων τετραμέτρων καταληκτικῶν, <ὧν> δʹ μὲν ἐν ἐκθέσει παρὰ πάντας, ὅτι εἰσὶν ἀναπαιστικοί, τελευταῖος <δὲ> τροχαϊκὸς <οὐ> κατ᾽ ἴσον τοῖς ἄλλοις VΓ.

Schol. in Aristoph. *pac*. 729c. 3 sq. (p. 112 Holwerda) Tr ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ε′.

Schol. in Aristoph. *pac*. 734c (p. 113 Holwerda) vet ἀναπαιστικὰ τετράμετρα καταληκτικὰ λα′, ὧν τελευταῖον· (v. 764) ʻπαῦρʼ ἀνιάσαςʼ.

Schol. in Aristoph. *pac*. 735. 1 sq. (p. 114 Holwerda) vet Tr παραβὰς ἐν τοῖς ἀναπαίστοις ΓLh] πᾶσαν παράβασιν ἀναπαίστους καλεῖ RVΓLh.

Schol. rec. in Aristoph. *Plut*. 487a (p. 129 Chantry) ἀλλʼ ἤδη χρῆν τι λέγειν trMt,Co,Barb[3]] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν [καὶ ἀκαταλήκτων] ρια′, ὧν τελευταῖος· (v. 597)

τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.

καλεῖται δὲ τοῦτο τὸ μέτρον Ἀριστοφάνειον, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι trMt,ChisCoLNp[2]PaReg,Barb[3],Ba(Ald). οὐ μὴν εὑρηκέναι πρῶτον, ἐπεὶ καὶ παρὰ Κρατίνῳ, καὶ πρὸ τούτου παρʼ Ἐπιχάρμῳ (fr. 88 [CGF 106] Kaibel) καὶ Ἀριστοξένῳ τῷ Σελινουντίῳ (IEG II, p. 45 West) Ἐπιχάρμου πρεσβυτέρῳ, ὡς Ἡφαιστίων (p. 24. 20 sqq) φησί, τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα.

Schol. rec. in Aristoph. *Plut*. 1171a. 4 sq. (p. 286 Chantry) ἑξῆς δὲ τούτων καὶ τελευταῖον παντὸς τοῦ δράματος, στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δύο.

Schol. in Aristoph. *ran*. 354 (p. 286a. 18 sqq. Dübner) εὐφημεῖν χρὴ] Ἀρίσταρχος ἐπὶ τούτων λέγει τὸν χορὸν μεμερίσθαι (εἰς μερικὰ ἀνάπαιστα, ἄλλα δὲ ἀμείβεσθαι τὸν χορόν).

Schol. in Aristoph. *ran*. 354 (p. 286a. 25 sqq. Dübner) ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ὀκτωκαίδεκα, ὧν τελευταῖος· (v. 371)

καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.

Schol. in Aristoph. *ran*. 372 (p. 287a. 20 sqq. Dübner) ἑξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας στροφῆς.

Schol. in Aristoph. *ran*. 992 (p. 303a. 27 sqq. Dübner) ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις, ὧν τελευταῖον· (v. 1075)

καὶ μινθῶσαι τὸν ξύσσιτον κἀκβάς τινα λωποδυτῆσαι.

Schol. in Aristoph. *vesp*. 863a. 20 sq. (p. 138 Koster) Tr οἱ πρῶτοι δ´ τετράμετροι καταληκτικοί Lh.

Schol. in Aristoph. *vesp*. 863b. 20 sq. (p. 138 Koster) Tr τὰ πρῶτα τέσσαρα τετράμετρα καταληκτικά Ald.

Schol. in Luc. *symp*. 17 (p. 32. 3 sqq. Rabe) <ἀνάπαιστα συγκροτῶν>] διὰ τοῦ κροτεῖν τὰς χεῖρας εὐρύθμως. ἀνάπαιστα δὲ κοινῶς μὲν τὰ ἐν ταῖς παραβάσει τῶν χορῶν ᾄσματι, ἰδίως δὲ τὰ τῷ ῥυθμῷ κεχρημένα τούτῳ. παράβασις δέ ἐστι λύσις χοροῦ σκηνικοῦ τοῦ κυκλικοῦ σχήματος καὶ κατὰ παράλληλον θέσιν στάσις τῶν χορευόντων, ὅταν καὶ εἰς τὸ θέατρον ἀποβλέποντες οἱ χορευταὶ ἔλεγόν τινα.

Schol. A in Hephaest. 133. 8 sqq. ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν, ὃ καλεῖται ἀριστοφάνειον, ποδῶν ἑπτὰ καὶ συλλαβῆς· (Aristoph. *nub.* 962)

ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.

Schol. A in Hephaest. 133. 16 sqq. τετράμετρον ἐστιν ἐκ δακτύλων καὶ ἀναπαίστων· εἰ γὰρ μὴ συνάψομεν τοὺς δακτύλοις ἀναπαίστοις, οὐ γίνεται ἀναπαιστικὸν τετράμετρον.

Schol. A in Hephaest. 134. 12 sqq. οὐ καλῶς λέγει τοῦτο Ἡφαιστίων (p. 26. 24 sqq.), ὅτι οὐ καλῶς λέγεται παροιμιακόν, ἐπειδὴ καὶ ἐν ἰάμβοις καὶ ἐν ἔπεσιν εὑρίσκονται παροιμίαι, καὶ οὐ μόνου τοῦ μέτρου τούτου (*scil.* τοῦ ἀναπαιστικοῦ διμέτρου καταληκτικοῦ). φαμὲν γὰρ ὅτι ουδὲν πρᾶγμα παροιμιακὸν αὐτὸ καλεῖσθαι, εἴ τινες γράψαντες παροιμίας κατεχρήσαντο τῷ μέτρῳ, καίτοι καὶ ἰαμβικῶν καὶ ἐπικῶν οὐσῶν παροιμιῶν. ὡς γὰρ τὸ ἀριστοφάνειον μέτρον καίπερ Ἀριστοφάνους μὴ εὑρηκότος ὅμως τὸ καταχρήσασθαι τοῦτον αὐτῷ ὠνομάσθαι, οὕτως τὸ μέτρον παρέσχετο, ὡσαύτως κἀνταῦθα.

Schol. B in Hephaest. 276. 1 sqq. τετράμετρον δὲ (*scil.* ἀναπαιστικόν) καταληκτικὸν τὸ καλούμενον ἀριστοφάνειον, ᾧ καὶ Ἀριστόξενος (IEG II, p. 45 West) καὶ Ἐπίχαρμος (fr. 88 [CGF 106] Kaibel) καὶ Κρατῖνος ἐχρήσαντο, τό· (Aristoph. *nub*. 962)

ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.

ἀναπαιστικὸν δὲ τετράμετρον, τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαίστων γινόμενον, ἐστὶ τὸ Ἀριστοφάνους τό· (inc. 718 [PCG III 2, p. 366] Kassel-Austin)

τίς ὄρεα βαθύκομα τάδ᾽ ἐπέσυτο βροτῶν.

Cic. *orat*. 190 elegit ex multis Isocrati libris triginta fortasse versus Hieronymus Peripateticus in primis nobilis, plerosque senarios, sed etiam anapaestos; quo quid potest esse turpius? etsi in legendo fecit malitiose; prima enim syllaba dempta ex primo verbo sententiae postremum ad verbum primam rursus syllabam adiunxit insequentis sententiae; ita factus est anapaestus is qui aristophaneus nominatur.

[Censorin.] GL VI 614. 2 sqq. = p. 82. 1 sqq. Sallmann aristophanius anapaestus: (inc. 98 [TRF 303] Ribbeck[3])

axena Ponti per freta Colchos denique delatus adhaesi.

recipit pedes quaternorum temporum omnis, inplet pedes VII et semipedem.

Gell. *praef*. 20 sq. atque etiam, quo sit quorundam male doctorum hominum scaevitas et invidentia irritatior, mutuabor ex Aristophanae choro anapaesta pauca et quam ille homo festivissimus fabulae suae spectandae legem dedit, eandem ego commentariis his legendis dabo, ut ea ne attingat neve adeat profestum et profanum volgus a ludo musico diversum. versus legis datae hi sunt: (*ran*. 354 sqq.)

εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν,
ὅστις ἄπειρος τοιῶνδε λόγων ἢ γνώμῃ μὴ καθαρεύει
ἢ γενναίων ὄργια Μουσῶν μήτ᾽ εἶδεν μήτ᾽ ἐχόρευσεν ...

(*ran*. 369 sqq.)

τούτοις αὐδῶ, καὖθις ἀπαυδῶ, καὖθις τὸ τρίτον μάλ᾽ ἀπαυδῶ
ἐξίστασθαι μύσταισι χοροῖς· ὑμεῖς δ᾽ ἀνεγείρετε μολπὴν
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.

Apthon. GL VI 52. 29 sq. anapaestici tetrametri catalectici (*scil*. exemplum), ut: (inc. 105 [FPL 458] Blänsdorf)

alius cithara sonituque potens volucres pecudesque movere.

Apthon. GL VI 75. 28 sqq. exemplum erit tetrametri (*scil*. anapaestici) catalectici, quod est in anapaesticis nobilis ille versus: (inc. 105 [FPL 458] Blänsdorf)

alius cithara sonituque potens volucres pecudesque movere,

item: (cf. Verg. *Aen*. IX 503)

admota labris tuba terribilem sonitum dedit aere canoro.

quod genus frequens est apud Aristophanen: unde et aristophanion vocatur, non quia conditor eius idem fuit (nam et Aeschylus et Cratinus et alii priores usi sunt eo), verum quia plurimus in hoc metro Aristophanes est, ut: (inc. 124 [FPL 462] Blänsdorf)

mare non amo, quod modo cum placido stetit aequore, litora caedit.

Apthon. GL VI 77. 28 sqq. anapaestici autem versus, qui ex spondeo et anapaesto et dactylo et rursum spondeo et anapaesto et syllaba componuntur, sunt quidem proceritatis trimetrae catalecticae:

Pan Maenalio carmine nymphas properantes.

verum hic versus currit ionico maiori et par ei est, qui sotadius dicitur, ut est ille: (inc. 61 [FPR 393] Baehrens)

rumpunt teneras uviferae comas lagei.

purum vero anapaesticum tale est:

nitet aurea purpureae Veneris coma roscida, lactea cervix,

quod est tetrametrum catalecticum. cui etiam id quod ex omnibus proceleumaticis constat, quoniam uniformitas omnium brevium metrum facere non sufficit, adscribetur, ut est:

nemus ave reticuit, ager homine sonat.

Apthon. GL VI 124. 8 sqq. accedit his etiam illa anapaesticorum species de fonte dactylici versus veniens apta admodum comicis, quae aristophanios nuncupata est, non quia conditor eius Aristophanes fuit (nam et Aeschylus et Cratinus, priscae comoediae scriptor, ea usi sunt), sed quia plurimus in hoc metro Aristophanes invenitur. cuius species duplex, paeonica et anapaestica. nam versus aristophanius paeonicus constat e tribus primis paeonibus et amphimacro, ut est: ([Caes. Bass. ] *lyr*. 6 [FPL 318] Blänsdorf)

iam Tiberis implacidus in maria labitur,

item: ([Caes. Bass. ] *lyr*. 5 [FPL 318]. 1 Blänsdorf)

egregia percoluit ingenia musice.

quibus si ultimas breves paeonum detrahas, erit omnis dactylicus tetrametrus. anapaesticus constat anapaestis septem et semipede, qui est octonarius, velut: (inc. 105 [FPL 458] Blänsdorf)

alius cithara sonituque potens volucres pecudesque movere.

cuius origo talis est: omnis pes in hexametro heroo primam syllabam longam habeat necesse est et is versus sit pedum sex. aristophanius autem quia septem pedibus et semipede subsistit, necessario adiungimus heroo sesquipedem, ita ut in principio versus syllabam longam locemus, tunc maxime, si in eo versu fuerit primus dactylus. hac enim addita syllaba omnis heroi metri ratio commutabitur: nam ex dactylo per adiectionem semipedis fiet spondeus, dehinc quae sequuntur duae breves proximam syllabam longam, quae fuerat dactyli, occupabunt, ut fiat anapaestus, et deinceps reliquae idem facient. in suprema autem parte versus, id est ante ultimum spondeum, quo herous clauditur, et <post> quintum pedem, interponimus dactylum, quo pes septimus anapaestus efficiatur superfluente semipede, veluti: (Catull. 64. 1)

> Peliaco quondam prognatae vertice pinus:

adicio versui primam syllabam longam 'ex', item ante ultimum pono pedem 'per freta', fiet talis:

> ex Peliaco quondam prognatae vertice per freta pinus.

item: (inc. 66 [FPL 443] Blänsdorf)

> iam ferus Hesperiam dabitur capricornus in undam:

iungo ad initium 'et', ante ultimum autem pono 'amatus', fiet:

> et iam ferus Hesperiam dabitur capricornus amatus in undam,

ut sic primus spondeus sit, insequentes anapaesti sex, semipede ultimo. item: (cf. Verg. *Aen*. IX 503)

> admota labris tuba terribilem sonitum dedit aere canoro:

hic versus per adiectionem quattuor syllabarum <post> primam 'ad', 'mota labris', ex heroo anapaesticus effectus est. tetrametrus catalecticus scanditur per dipodias et terminatur per semipedem sic:

> admota labris tuba terribilem sonitum dedit aere canoro.

Diom. GL I 511. 18 sqq. anapaesticus, qui ex pedibus anapaestis constat, talis est in Sereno: (fr. 19 [FPL 358] Blänsdorf)

> cede testula trita, sol occurrit tibi per speculum, Panope.

hic recipit pedes sui generis, de qua re supra diximus. anapaestus autem fit ex duabus brevibus et longa.

Serv. GL IV 462. 27 sq. de aristophanio. aristophanium constat tetrametro (*scil*. anapaestico) catalectico, ut est hoc:

> date vina mihi, date serta, iuvat dare tempora tota Lyaeo. [*M.E.*]